S. Silvestri I. papae opus incognitum adversus Iudaeos laudat apud nos Leontius hierosol. p. 134, paucis verbis in medium prolatis. Nunc ecce eiusdem operis paulo maiorem sectionem in catena inedita ad Lucae evangelium observavi, eamque heic recitare pretium operae iudico.

## ΣΙΛΒΕΣΤΡΟΥ.

*Εἰ δέ τισιν ἀδύνατον δοκεῖ ἐν ἑνὶ δύο εἶναι τινὰ, καὶ ἅμα μὲν κατέχεσθαι, ἅμα δὲ σταυροῦσθαι, καὶ τὸ ἓν τούτων ὑπομένειν τὴν ὕβριν, ἀνθρωπίνῳ ὑποδείγματι τοῦτο ἀποδεῖξαι πειράσομαι· ἡ βασιλικὴ πορφυρὶς, ἔριον ἦν· τούτῳ μιγὲν τὸ τῆς κογχύλης τὸ αἷμα, χροιὰν πορφυρέαν αὐτῷ παρέσχεν· ὅτε οὖν ἐνήθετο τοῖς δακτύλοις, καὶ ἐκυκλώθετο γινόμενον στήμων, ποῖον ἄρα τὴν στρέψιν ὑπέμενε, τὸ ἔριον ἢ ἡ βαφή; δῆλον ὅτι τὸ ἔριον· χρὴ τοίνυν ὁμοιῶσαι τῷ μὲν ἐρίῳ τὸν ἄνθρωπον, τῇ δὲ πορφυρέᾳ χροιᾷ τὸν θεὸν λόγον, ὃς ἥνωτο ἐν τῷ πάθει τῷ σταυρῷ, ἀλλὰ τῷ πάθει παντελῶς οὐχ ὑπέπεσεν. Εἰ δὲ οὐκ ἀρκεῖ τὸ ῥηθὲν ὑπόδειγμα, προσθήσω καὶ ἕτερον. Δυνατόν ἐστι δένδρον ἔχον ἐν ἑαυτῷ τὴν ἀκτῖνα τοῦ ἡλίου τμηθῆναι· ἐν τῷ οὖν τέμνεσθαι, θεωροῦμεν ὅτι τὴν πληγὴν τοῦ τέμνοντος σιδήρου ἡ ἀκτὶς πρώτη ὑποδέχεται πρὶν ἢ τὸ ξύλον ὑποδέξασθαι· ἀλλ' ἡ λαμπεδὼν, καίτοι ἐκεῖ οὖσα, οὔτε τμηθῆναι οὔτε διακοπῆναι δύναται· οὕτω οὖν καὶ ἡ θεότης οὔτε χωρισθῆναι ἠδύνατο οὔτε τμηθῆναι καὶ παθεῖν· τοῦτο δὲ ὑπέπεσε τῷ πάθει, ὃ καθάπερ ξύλον καὶ δεθῆναι ἠδύνατο καὶ κρατηθῆναι. Καὶ ταῦτα μὲν τὰ ὑποδείγματα εἴρηται εὐτελῆ παρ' εὐτελοῦς καὶ θνητοῦ ἀνθρώπου, ἀμυδράν τινα ἔννοιαν τῆς φρικτῆς οἰκονομίας παραστῆσαι τοῖς πιστοῖς ὀφείλοντα· οὐ μὴν δυνατὸν τοῦ παντὸς ἐφικέσθαι, ὅτι μὴ δὲ δύναται κτιστὴ φύσις καταλαμβάνειν τὴν ἄκτιστον καὶ ἀκατάληπτον οὐσίαν ἐκείνην τοῦ λόγου, ὃς τούτου ἕνεκεν ἀναλαβεῖν σάρκα ἐκ τοῦ ἡμετέρου φυράματος κατηξίωσεν, ἵνα ἡμᾶς θείας κοινωνοὺς ἀπεργάσηται φύσεως, καὶ ἑνώσῃ ἑαυτῷ τὴν ἡμετέραν φύσιν· ἕνωσιν δέ φημι ἀσύγχυτον καὶ ἄτρεπτον καὶ ἀναλλοίωτον καὶ ἣν ἐπίσταται μόνος αὐτός.*

Digitized by Google